**ΤΑΞΗ:** **Α΄ ΓΕΝΙΚΟΥ ΛΥΚΕΙΟΥ**
**ΜΑΘΗΜΑ:** **ΑΡΧΑΙΑ**

**Ημερομηνία: Κυριακή 7 Απριλίου 2013**
**Διάρκεια Εξέτασης: 2 ώρες**

---

# ΕΚΦΩΝΗΣΕΙΣ

## ΚΕΙΜΕΝΟ

**§71.1.** Δράσαντες δέ τοῦτο καί ξυγκαλέσαντες Κερκυραίους εἶπον ὅτι ταῦτα καί βέλτιστα εἴη καί ἥκιστ᾽ἂν δουλωθεῖεν ὑπ᾽Ἀθηναίων, τό τε λοιπόν μηδετέρους δέχεσθαι ἀλλ᾽ἢ μιᾷ νηί ἡσυχάζοντας, τό δέ πλέον πολέμιον ἡγεῖσθαι. ὡς δέ εἶπον, καί ἐπικυρῶσαι ἠνάγκασαν τήν γνώμην.

**§71.2.** Πέμπουσι δέ καί ἐς τάς Ἀθήνας εὐθύς πρέσβεις περί τε τῶν πεπραγμένων διδάξοντας ὡς ξυνέφερε καί τούς ἐκεῖ καταπεφευγότας πείσοντας μηδέν ἀνεπιτήδειον πράσσειν, ὅπως μή τις ἐπιστροφή γένηται.

**§72.1.** Ἐλθόντων δέ οἱ Ἀθηναῖοι τούς τε πρέσβεις ὡς νεωτερίζοντας ξυλλαβόντες, καί ὅσους ἔπεισαν, κατέθεντο ἐς Αἴγιναν.

**§72.2.** Ἐν δέ τούτῳ τῶν Κερκυραίων οἱ ἔχοντες τά πράγματα ἐλθούσης τριήρους Κορινθίας καί Λακεδαιμονίων πρέσβεων ἐπιτίθενται τῷ δήμῳ, καί μαχόμενοι ἐνίκησαν.

**§72.3.** ἀφικομένης δέ νυκτός ὁ μέν δῆμος ἐς τήν ἀκρόπολιν καί τά μετέωρα τῆς πόλεως καταφεύγει καί αὐτοῦ ξυλλεγείς ἱδρύθη, καί τόν Ὑλλαϊκόν λιμένα εἶχον· οἱ δέ τήν τε ἀγοράν κατέλαβον,

οὗπερ οἱ πολλοί ᾤκουν αὐτῶν, καί τόν λιμένα τόν πρός αὐτῇ καί πρός τήν ἤπειρον.

**§73.** τῇ δ'ὑστεραίᾳ ἠκροβολίσαντό τε ὀλίγα καί ἐς τούς ἀγρούς περιέπεμπον ἀμφότεροι, τούς δούλους παρακαλοῦντές τε καί ἐλευθερίαν ὑπισχνούμενοι· καί τῷ μέν δήμῳ τῶν οἰκετῶν τό πλῆθος παρεγένετο ξύμμαχον, τοῖς δ'ἑτέροις ἐκ τῆς ἠπείρου ἐπίκουροι ὀκτακόσιοι.

**§74.1.** Διαλιπούσης δ'ἡμέρας μάχη αὖθις γίγνεται καί νικᾷ ὁ δῆμος χωρίων τε ἰσχύι καί πλήθει προὔχων· αἵ τε γυναῖκες αὐτοῖς τολμηρῶς ξυνεπελάβοντο βάλλουσαι ἀπό τῶν οἰκιῶν τῷ κεράμῳ καί παρά φύσιν ὑπομένουσαι τόν θόρυβον.

**§74.2.** Γενομένης δέ τῆς τροπῆς περί δείλην ὀψίαν, δείσαντες οἱ ὀλίγοι μή αὐτοβοεί ὁ δῆμος τοῦ τε νεωρίου κρατήσειεν ἐπελθών καί σφᾶς διαφθείρειεν, ἐμπιπρᾶσι τάς οἰκίας τάς ἐν κύκλῳ τῆς ἀγορᾶς καί τάς ξυνοικίας, ὅπως μή ᾖ ἔφοδος, φειδόμενοι οὔτε οἰκείας οὔτε ἀλλοτρίας, ὥστε καί χρήματα πολλά ἐμπόρων κατεκαύθη καί ἡ πόλις ἐκινδύνευσε πᾶσα διαφθαρῆναι, εἰ ἄνεμος ἐπεγένετο τῇ φλογί ἐπίφορος ἐς αὐτήν.

**§74.3.** Καί οἱ μέν παυσάμενοι τῆς μάχης ὡς ἑκάτεροι ἡσυχάσαντες τήν νύκτα ἐν φυλακῇ ἦσαν· καί ἡ Κορινθία ναῦς τοῦ δήμου κεκρατηκότος ὑπεξανήγετο, καί τῶν ἐπικούρων οἱ πολλοί ἐς τήν ἤπειρον λαθόντες διεκομίσθησαν.

## ΠΑΡΑΤΗΡΗΣΕΙΣ

**Α.** Να μεταφράσετε το παρακάτω απόσπασμα: «Ἐν δέ τούτῳ τῶν Κερκυραίων … ἐλευθερίαν ὑπισχνούμενοι» (§72-73).

**(μονάδες 30)**

**Β.1.** Μπορείτε να ανιχνεύσετε αν υπάρχει σχέση ανάμεσα στην άφιξη του κορινθιακού πλοίου και στη δράση που ανέλαβε η ολιγαρχική παράταξη και ποια είναι αυτή; Σχολιάζοντας τους τύπους «ὑπεξανήγετο» και «λαθόντες» αναφερθείτε στο γενικότερο ρόλο των προστατών. Να λάβετε υπόψη σας στοιχεία από τις §72.2 και §74.

**(μονάδες 10)**

**Β.2.** Πώς δικαιολογείται η προσχώρηση των περισσότερων δούλων στην δημοκρατική παράταξη;

**(μονάδες 10)**

**Β.3.** Να επισημάνετε όλους τους παράγοντες που εξασφάλισαν τη νίκη στους δημοκρατικούς.

**(μονάδες 10)**

**Γ.1.** Να χαρακτηρίσετε τις παρακάτω δευτερεύουσες προτάσεις (είδος – εισαγωγή – εκφορά - λειτουργία):

**α.** ὅτι ταῦτα καί βέλτιστα εἴη (§71.1).
**β.** ὅπως μή ᾖ ἔφοδος (§74.2).

**(μονάδες 8)**

**Γ.2.** Να χαρακτηρίσετε συντακτικά τους παρακάτω όρους:

νηί (71): ……………………… στο ………………………
πολέμιον (71): ……………………… στο ………………………
μαχόμενοι (72): ……………………….. / …………………………..
ὀλίγα (73): ……………………… στο ………………………
τῶν οἰκετῶν(73): ……………………… από ………………………
κεκρατηκότος(74): ……………………….. / …………………………..
ἐς τήν ἤπειρον(74): ……………………… στο ………………………

**(μονάδες 7)**

**Δ.1.** Να απαντήσετε στις παρακάτω γραμματικές παρατηρήσεις:

**α.** εἶπον (71): να γίνει εγκλιτική αντικατάσταση.
**β.** περιέπεμπον (73): να γίνει χρονική αντικατάσταση.

**(μονάδες 10)**

**Δ.2.** Να γραφούν οι τύποι που ζητούνται:

- νηί (71): γενική ενικού
- τήν ἀκρόπολιν (72): δοτική πληθυντικού
- πρέσβεις (72): γενική ενικού
- τό πλῆθος (73): δοτική ενικού
- τῶν οἰκετῶν (73): κλητική ενικού

**(μονάδες 5)**

**Ε.1.** Να γράψετε από ένα ομόρριζο ουσιαστικό ή επίθετο στα νεοελληνικά (απλό ή σύνθετο) για κάθε μία από τις παρακάτω λέξεις του κειμένου:

ἔχοντες (72), ἱδρύθη (72), περιέπεμπον (73), παρακαλοῦντες (73), παρεγένετο (73).

**(μονάδες 5)**

**Ε.2.** Να βρείτε ετυμολογικά συγγενείς λέξεις από το αρχαίο κείμενο για κάθε μία από τις παρακάτω λέξεις:

πειστικός, προηγούμενος, παραλαβή, παύση, εμπρησμός.

**(μονάδες 5)**

Ευκλείδης Τρίκαλα